## 03 MARTIE
## ANTONIOS MARKOU

# PARACLISUL SF.CUVIOS GHENADIE TZEKAKIS DE LA CRETA



## PARACLISIERUL PE MARTIE-GR


Α
ω

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΓΕΝΝΑΔΙΟΝ ΤΟΝ ΝΕΟΦΑΝΗ τόν ἐν Ἀκουμίοις τῆς Κρήτης ἀσκήσαντα

## Ποίημα Ἀντωνίου Μάρκου

Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν:
Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.
Ἤ μή ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ψαλμός ρμβ’ (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
Θεός Κύριος καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α’. Ἐξολολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ. Θεός Κύριος καί ἐπέφανεν ἡμῖν...
Στίχ. β’. Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν... Στίχ. γ'. Παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν. Θεός Κύριος καί ἐπέφανεν ἡμῖν...

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ'. Ὁ ὑψωθείς.
Τόν τῆς εὐάνδρου Κρήτης θεῖον προστάτην, δεῦτε φιλέορτοι τά νῦν συνελθόντες, πνευματικοῖς τοῖς ἄσμασιν ὑμνήσωμεν φαιδρῶς, Γεννάδιον πανθαύμαστον, Ἀκουμίων τό κάλλος, παρ' αὐτοῦ αἰτούμενοι ὀφλημάτων τήν λύσιν, τῶν τιμῶντων τοῦτον εὐλαβῶς καί τήν θερμήν του αἰτουμένων ἀντίληψιν.
Δόξα... Ἀπολυτίκιον τοῦ Ὁσίου. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.
Τόν τῆς Κρήτης προστάτην καί Ὀρθοδόξων τό καύχημα, μοναζόντων τό κλέος, ἀσκητῶν τό θησαύρισμα, Γεννάδιον τό θεῖον οἱ πιστοί τιμῶμεν κατά χρέος, τῶν αὐτοῦ χαρίτων οἱ πλουτοῦντες καί δωρεῶν κραυγάζοντες πρός Κύριον. Δόξᾳ τῶ Σέ δοξάσαντι αὐτόν, δόξᾳ Σέ τόν αὐτόν θαυμαστώσαντα, δόξᾳ Σοι τῶ δωρησαμένῳ ἡμῖν νέον πρέσβυν ἀκοίμητον.
Καί νῦν... Θεοτοκίον. Ἦχος δ'.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι. Εἰμή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ

ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ, Σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός ν’ (50).

Εἶτα ψάλλομεν ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καί ἐν εὐλαβείᾳ, τόν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχίς τῶν μέν Τροπαρίων «ΑΝΤΩΝΙΟΣ ΓΕΝΝΑΔΙΩ ΥΜΝΟΝ ΑΔΕΙ», τῶν δέ Θεοτοκίων «ΘΕΟΤΟΚΟΣ».

Ὠδή α’. Ἦχος πλ. δ’. Ὁ Εἱρμός. Ὑγράν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Ἀρχήν νῦν ποιούμενος ἀνυμνεῖν, Γενναδίου ἀγῶνας, ἐνθέως τοῦτον παρακαλῶ, διάρρηξον πταισμάτων μου τόν ὄγκον, ταῖς πρός τόν Κτίστην, Πάτερ, πρεσβείαις σου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Νομίμως ἀσκήσας ἐπί τῆς γῆς, ἀξίως τήν χάριν ἔλαβες, Πάτερ, θαυματουργεῖν. Ταύτην οὖν χρώμενος νῦν παῦσον τόν τῆς ψυχῆς μου πολυκύμαντον τάραχον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Τρωθείς θείῳ ἔρωτι, τοῦ φθαρτοῦ ἐμάκρυνας κόσμου, Κουδουμᾶ γενόμενος πολιστής καί Ἄννης Θεομήτορος τήν κέλλαν, ἐν ᾗ ἀσκητικῶς Βελίαρ ᾔσχυνας.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτόκε Παρθένε, ὁ Ποιητής ἐν τῇ Σῇ κοιλίᾳ κατεκένωσεν Ἑαυτόν, ὁ πατρικούς κόλπους μή

κενώσας, σῶσαι θελήσας ὡς Θεός τό ἀνθρώπινον.

Ὠδή γ'. Οὐρανίας ἁψῖδος.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ὤφθης ἅγιον στόμα, πηγάζων ρήματα ἅγια, δι' ὧν τάς ψυχάς τῶν προσιόντων, Πάτερ, κατήρδευσας. Οὕτω γενόμενος σφραγίς κλεινή τοῦ εἰπόντος, «*ἐκ τοῖς κοιλίας σου ρεύσονται ὕδατα*».
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Νίκην ἔσχες Βελίαρ κατατροπώσας τήν δύναμιν, ἐν τῇ ἐρημίᾳ Ἀκουμίων ἀγωνιζόμενος, διό καί ἔλαβες παρά Κυρίου τήν χάριν τοῦ θεραπεύειν νόσους, Γεννάδιε. Ὅθεν τῇ πρεσβείᾳ σου προστρέχομεν.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἱκετεύομεν, Πάτερ, ἡμῶν τά πάθη καί τραύματα, σπεῦσον σαῖς ἁγίαις πρεσβείαις, ταχέως ἴασαι. Ἵνα εὐφημοῦμεν σε, ὡς μοναζόντων τό κλέος, Κρήτης ὧν τό καύχημα, θεῖε Γεννάδιε.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Εὐσπλάχνως, Παρθένε, ἡ τόν Κύριον τέξασα, σπεῦσον καί λύτρωσαι παντοίων ἡμᾶς κινδύνων καί θλίψεων.

Σύν Σοί δέ φέρομεν, πρός Κύριον πρεσβείαν, Γεννάδιον τόν ἔνδοξον, Κρήτης τό καύχημα. Διάσωσον ταῖς τοῦ Ὁσίου πρεσβείαις Παντελεήμων, ὅτι πάντες κατόπιν Σοῦ αὐτῷ καταφεύγομεν, ὡς ἔχοντα τήν πρός Σέ παρρησίαν. Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ὁσίου

ταῖς λιταῖς Οἰκτῆρμον, ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β’. Τά ἄνω ζητῶν.
Γενναδίου τῇ πρεσβείᾳ νῦν προσπίπτωμεν, οἱ ἐν πόνοις ψυχῆς καί θλίψεσι ὑπάρχοντες καί δι’ αὐτοῦ αἰτούμεθα τό τοῦ Κυρίου ἄμετρον ἔλεος καί τήν ταχεῖαν Τούτου συνδρομήν καί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

Ὠδή δ’. Εἰσακήκοα Κύριε.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ὅν ἐπόθησας, Ὅσιε, σάρκα δι’ Ὅν ἔτηξας νῦν τεθέασαι Παραδείσῳ αὐλιζόμενος, διό σέ καί ἀπαύστως μακαρίζομεν.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Σάρκαν, Πάτερ, δουλώσας ἐν τοῖς ἐρήμοις ἤσκησας, ὅπου ἀγωνιζόμενος, τοῦ λαοῦ ἐδείχθης ποιμήν τε καί διδάσκαλος.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Γεννάδιος ἐδείχθη ἀστήρ καί στύλος ἀκλόνητος, ὅθεν τοῖς πᾶσι προσφέρει αὐτοῦ τό ἅγιον καί θεοφιλές παράδειγμα.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Θεοτόκε Μαρία, Ἐκκλησίας ἡ σκέπη καί ἔφορος, σπεῦσον τά Σά τέκνα ἐπισκέψαι τά ὑπό κακοδόξων κακουχούμενα.

Ὠδή ε’. Φώτισον ἡμᾶς.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Εὗρες τήν χαράν, ὡς τάς πλεκτάνας τοῦ Βελίαρ συντρίψας, διό Γεννάδιε Πάτερ, ἀεί σκέπεις καί ἴᾶσαι τούς τῷ σῷ τάφῳ ἐν πίστει προστρέχοντας.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Νίκην καί ἡμεῖς τύχοιμεν, Γεννάδιε, θερμῶς δεήθητι Κυρίου τοῦ Παντάνακτος Θεοῦ, ἣν αὐτός ὡς βραβεῖον τῶν σῶν ἀγώνων ἔλαβες.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Νέος ἀριστεύς τοῦ Βελίαρ τροπωσάμενος τάς πλεκτάνας, ὦ Γεννάδιε, δεχθείς, ἐν οὐρανίοις θαλάμοις νῦν ἀγάλλασαι.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τιμῶντες Σε, Ἁγνή, Ὀρθοδόξων τά συστήματα καί ὑμνοῦντες οὐ παυόμεθα, ταῖς Σαῖς πρεσβείαις θαρροῦντες, Παντάνασσα.

Ὠδή στ’. Τήν δέησιν ἐκχεῶ.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἀνήρ ἐπιθυμιῶν, νέος ὑπῆλθες τῷ σώματι, τῷ ζυγῷ τῶ χριστῷ τοῦ Κυρίου, ἀπορραγεῖς τῶν τοῦ κόσμου ματαίων καί τοῖς δρυμοῖς φυγαδεύων ἐμάκρυνας· καί μόνος μόνῳ τῷ Θεῷ νοερῶς ἦσθα συνών καί ἡδόμενος.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Δεόμεθά σου οἱ ἐν κινδύνοις καί θλίψεσι, τῶν δεινῶν ἡμᾶς ἐκλύτρωσον πάντας, σέ λυτρωτήν γάρ

ἐπιγραφόμενοι, ὅτι παρά Θεοῦ ἠλεήθης, Γεννάδιε· καί σπεύδεις, Πάτερ, ἐν ταχεῖ τοῦ θεραπεῦσαι ἡμῶν τά νοσήματα.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἱκέτευε ἐκτενῶς, Γεννάδιε, τόν Θεόν ὑπέρ σῆς γλυκυτάτης, ἁγιοτόκου, Θεοφόρε, πατρίδος Κρήτης, ἥν σκέπε ἀεί περιφρούρησον καί λύτρωσαι ἐκ παντοίων πειρασμῶν τούς ἐν αὐτῇ τῇ Πίστει ἐμμένοντας.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ὅλον με, νυσταγμῷ ραθυμίας βεβαρημένον, θερμῇ Σου ἱκεσίᾳ ἔγειρον καί μή δώῃς ὑπνῶσαι Σόν δοῦλον, Μήτερ Ἁγία, εἰς θάνατον· προστάτην γάρ καί ὁδηγόν ἐμῆς ζωῆς Σέ ἐπιγράφομαι.

Διάσωσον ταῖς τοῦ Ὁσίου πρεσβείαις Παντελεήμων, ὅτι πάντες κατόπιν Σοῦ αὐτῷ καταφεύγομεν, ὡς ἔχοντα τήν πρός Σέ παρρησίαν.
Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ὁσίου ταῖς λιταῖς Οἰκτῆρμον, ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Κοντάκιον. Ἦχος β’. Προστασία τῶν Χριστιανῶν.
Μεσιτείᾳ τῆς Μητρός Σου, Πολυέλεε, ἱκεσίαις τοῦ Ὁσίου καί δεήσεσι, τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς. Ἡμάρτομέν Σοι, Ἀγαθέ, καί παροργίζομεν ἀεί, τήν Σήν ἀγαθότητα. Δέχου τήν μεσιτείαν τῆς

ἀχράντου Μητρός Σου, ἐπικαμπτόμενος, Σωτήρ, Αὐτῆς ταῖς δεήσεσι.

Καί εὐθύς τό Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ. Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Ἐκ τοῦ κατά Ματθαῖον ἁγίου Εὐαγγελίου
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου καί οὐδεῖς ἐπιγινώσκει τόν Υἱόν, εἰμή ὁ Πατήρ. Οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει, εἰμή ὁ Υἱός καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ ὑμᾶς καί μάθετε ἀπ’ ἐμοῦ ὅτι πρᾶος εἰμί καί ταπεινός τῆ καρδίᾳ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός καί τό φορτίον μου ἐλαφρόν ἐστι.

Εἶτα ψάλλομεν. Ἦχος β’.
Δόξα…
Γενναδίου ταῖς λιταῖς, πρεσβείαις τε, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν…
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον

τό ἀνόμημά μου.
Ἦχος πλ. β’. Ὅλην ἀποθέμενοι.
Δεῦτε τόν Γεννάδιον, τόν ἐρημίας πολίτην, ἐν ὕμνοις τιμήσωμεν, οἱ αὐτῷ προσπίπτοντες μετά πίστεως. Τῷ Θεῷ οὗτος γάρ, ὑπέρ λαοῦ ἅπαντος, μετά ζέσεως προσδέεται, ἐπικαλούμενος ἐφ’ ἡμᾶς Κυρίου τό ἔλεος καί Τούτου τήν σωτήριον ἐπί τοῖς δεομένοις βοήθειαν. Χαῖρε βοῶντες, δοχεῖον τοῦ Κυρίου ἐκλεκτόν καί τῆς Αὐτοῦ παρατάξεως στρατιῶτα τίμιε.

Εὐθύς ἐκφωνεῖται ὑπό τοῦ Ἱερέως ἡ λιτανευτική ἱκεσία: Σῶσον ὁ Θεός τόν λαόν Σου…

Ὠδή ζ’. Παῖδες Ἑβραίων.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ὡραία πρός Θεόν ἡ σή καλή ἐφάνη βιοτή, Γεννάδιε τῆς Κρήτης γόνε λαμπρέ καί καύχημα καί κλέος, διό Ὀρθοδόξων σύστημα τιμᾶ σε καί γεραίρει.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ὑμῶν τῶν νόσων καί κινδύνων ἰατρός ἐδόθης, Γεννάδιε τῆς Κρήτης, διό τῶν ψυχῶν ἡμῶν τά πάθη θεραπεύεις καί τῶν σωμάτων, Ἅγιε, διό σέ καί τιμῶμεν.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Μέγιστα Γεννάδιε ἐργάζῃ καί μετά θάνατον, Μάκαρ, διά τῶν σῶν Λειψάνων, θαυμάτων γάρ πηγή δεικνύμενος, ἀσθενούντων ἰατρός ὁ τάχιστος, ὁ ἄμισθός τε μένων.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Κυρία Θεοτόκε Παρθένε, μή παύσῃ ἐπαίρουσα Σας χείρας, πρός τόν Σόν Υἱόν, Θεόν καί Βασιλέα, τῇ κραταιᾶ Σου, ἐξελοῦ Σοῦς οἰκέτας.

Ὠδή η'. Τόν Βασιλέα.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Ναός καί τάφος τοῦ θείου Γενναδίου, ἰατρεῖον πρόκεινται τοῖς πᾶσι καί εὐσεβούντων δέχεται τάς δεήσεις.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Ὅσοι ἐν πίστει εἰλικρινεῖ προσιοῦσι, τῇ θήκῃ τῶν σεπτῶν σου Λειψάνων, ψυχῶν τε καί σωμάτων λαμβάνουσι τήν ρώσιν.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Νέων Ἁγίων τῷ χορῷ, Πάτερ, κατετάγης ἀγῶσι ἱεροῖς καί βίῳ τῷ μονήρει, διό ἡμῶν προστάτης καί βοηθός νῦν πέλεις.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Ὀμμάτων σκότος, ψυχῆς ἀορασίαν, φωταγώγησον Σύ, φωτός ἀκτίστου Μήτηρ, τῶν δεομένων τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ'. Κυρίως Θεοτόκον.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν. Ἁπάσης τῆς Ἑλλάδος καί Κρήτης, Πάτερ, πέλεις θερμῶς προστάτης καί μεσίτης πρός Κύριον, διό καί σοῦ δεόμεθα θερμῶς, μή παύῃς Τοῦτῳ εὐχαῖς

κατακάμπτοντα.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Δεκάδες τά σά τέκνα, ἐν Κρήτῃ, τό σόν δρόμον, Πάτερ, σόν δρόμον ἐβάδισαν διό καί ἔλαβον μισθούς ἀγώνων καί στέφη οὐράνια.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Εὐχαῖς σου τάς σειράς μου τῶν πταισμάτων λῦσον καί τό χειρόγραφόν, Πάτερ, διάρρηξον τῆς ἁμαρτίας, τοῦ τήν σήν ἁγίαν μνήμην κηρύττοντος.
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἴδε μου τήν πτωχείαν τοῦ ταῦτα στιχουργοῦντος καί σαῖς πρεσβείαις πρός Κύριον, Ὅσιε, πλούτισον τήν ἐμήν ψυχήν, δωρεῶν καί χαρίτων τοῦ Πνεύματος.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σωτῆραν ἡ τεκοῦσα, Παρθένε Θεοτόκε, σύν Γενναδίῳ Κυρίῳ πρεσβεύσατε, ἵνα δωρήσῃ πᾶσιν ὡς Θεός, ἁμαρτημάτων λύσιν καί ἄφεσιν.

Καί εὐθύς, τοῦ Ἱερέως θυμιῶντος τό Ἱερόν Θυσιαστήριον καί τόν εὐσεβῆ λαόν, ψάλλονται τά παρόντα Μεγαλυνάρια:
Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις παρθενίας ὁ ἐραστής, θείου Παρθενίου ἀδιάκριτος μιμητής, τοῦ τε Εὐμενίου τοῦ νέου, ὅθεν πάντων τῶν Ὀρθοδόξων πέλεις πρέσβυς ἀκοίμητος.

Κρήτης τῆς εὐάνδρου γόνος λαμπρός, ἐν ἐσχάτοις χρόνοις ἀνεδείχθης, διό πατήρ Γεννάδιε μάκαρ, ὑπέρ ἡμῶν μή παύῃς, πρεσβεύειν τῷ Κυρίῳ, ὑπέρ ἀφέσεως.

Ξένης τῷ τεμένει τῷ ἱερῷ, ἐν ὅ Σέ τιμῶμεν σκέπε καί φρούρει, Πάτερ, ἀεί, Γεννάδιε μάκαρ, τῆς Κρήτης ὁ προστάτης, ἁπάσης τῆς Ἑλλάδος ὁ θεῖος πρόμαχος.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα.

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα...

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν...
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τό Ἀπολυτίκιον τοῦ Ὁσίου. Ἦχος α’. Τοῦ λίθου σφραγισθέντος.

Τόν τῆς Κρήτης προστάτην καί Ὀρθοδόξων τό καύχημα, μοναζόντων τό κλέος, ἀσκητῶν τό θησαύρισμα, Γεννάδιον τό θεῖον οἱ πιστοί τιμῶμεν κατά χρέος, τῶν αὐτοῦ χαρίτων οἱ πλουτοῦντες καί δωρεῶν κραυγάζοντες πρός Κύριον. Δόξᾳ τῶ Σέ δοξάσαντι αὐτόν, δόξᾳ Σέ τόν αὐτόν θαυμαστώσαντα, δόξᾳ Σοι τῶ δωρησαμένῳ ἡμῖν νέον πρέσβυν ἀκοίμητον.

Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τοῦ Ὁσίου καί χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια:

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε τόν Γεννάδιον τά νῦν, τῶν ἐκ τῆς Κρήτης Πατέρων, πάντες τιμήσωμεν, ὁμοῦ Παρθενίῳ τε, σύν Εὐμενίῳ ὁμοῦ καί προσπίπτοντες εἴπωμεν αὐτοῖς μελῳδοῦντες, χαίρετε τρισόλβιοι Πατέρες Ἅγιοι, Κρήτης οἱ νεοφανεῖς φωστῆρες καί ἡμῶν προστάται ἐν ἀνάγκαις, πάντων τε Ὀρθοδόξων οἱ ἀμύντορες.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ

Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου. Ὁ Ἱερεύς: Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

